# 25-05-2017 ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ ΑΝΑΛΗΨΕΩΣ

† Η ΑΝΑΛΗΨΙΣ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.
† Ἡ Γ΄ Εὕρεσις τῆς Τιμίας κεφαλῆς τοῦ Προδρόμου.

## Εἰς τόν Ἑσπερινόν.

**ΙΕΡΕΥΣ:** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΑΝΑΓΝΩΣΤΗΣ:** Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμός ργ΄ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾌσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (......), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης,

πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# 25-05-2017 ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ ΑΝΑΛΗΨΕΩΣ

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. δ΄ Νη




## ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

Εἰ δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους στ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς εἰς 6 (δευτερουμένου τοῦ πρώτου).

Ἦχος πλ. α' Πα




σο ο ο ον μου Κυ υ υ ρι ι ι ι
ε
Κα τευ θυν θη η η τω ω η η η
προ ο ο ο σε ευ χη η η η μου ως θυ μι
ι α α α μα α α ε νω ω πι ο
ο ο ον σου ε ε πα αρ σι ις των
χει ει ει ρω ω ων μου ου θυ σι α ε
ε ε ε ε σπε ε ε ρι νη ει σα κου
σο ο ο ον μου Κυ υ υ ρι ι ι ι
ε

## Ἰδιόμελα

Ἦχος λ̣π Πα


Ε αν α νο μι ας πα ρα τη ρη
σης Κυ ρι ε Κυ ρι ε τις υ πο στη
σε ται ο τι πα ρα σοι ο ι λα
σμο ο ος ε ε ε εστιν
Ο Κυ ρι ι ος α νε λη φθη εις
ου ου ρα νους ι να πε ε εμ ψη τον Πα ρα
α α κλη το ον τω κο ο ο οσμω οι ου
ρα νοι η τοι μασαν τον θρο ο ο ο
νον α αυ του νε φε ε λαι αι αι την ε
πι ι βα σι ιν α αυ του Α αγ γε λοι οι


θα αυ μα αζου σι ιν ανθρω πον ο ρων
τες υ πε ρα α α νω ω α αυ των ο Πα
τηρ εκ δε ε χε ται ο ο ο ον εν κο ο ολ
ποις ε ε ε χει συ υ να ι ι δι ι ον
το Πνευ μα το α γι ον κε λευ ει πα σι
τοις Αγ γε ε ε ε λοις α αυ του α
ρα τε πυ υ υ λας οι α αρ χον τε ες η η
μων παν τα τα ε ε θνη κρο τη
σα τε χει ει ει ρα ας ο τι α νε ε ε ε
βη Χρι στος ο που η η η ην το προ ο ο
τε ε ε ε ρον


Ε νε κεν του ο νο μα τος σου υ
πε μει να σε Κυ ρι ε υ πε μει νεν
η ψυ χη μου εις τον λο γον σου ηλ πι
σεν η ψυ χη μου ε πι τον Κυ υ υ ρι ι
ι ι ον
Ο Κυ ρι ι ος α νε λη φθη εις
ου ου ρα νους ι να πε ε εμ ψη τον Πα ρα
α α κλη το ον τω κο ο ο ο σμω οι ου
ρα νοι η τοι μα σαν τον θρο ο ο ο
νον α αυ του νε φε ε λαι αι αι την ε
πι ι βα σι ιν α αυ του Α αγ γε λοι οι


θα αυ μα αζου σι ιν αν θρω πον ο ρων
τες υ πε ρα α α α νω ω α αυ των ο
Πα τηρ εκ δε ε χε ται ο ο ο ον εν κο
ο ολ ποις ε ε ε χει συ υ να ι ι δι ι
ον το Πνευ μα το α γι ον κε λευ ει
πα σι τοις Αγ γε ε ε λοις α αυ του
α ρα τε πυ υ υ λας οι α αρ χον τε ες
η η μων παν τα τα ε ε θνη κρο
τη σα τε χει ει ει ρα ας ο τι α νε ε
ε ε βη Χρι στος ο που η η η ην το προ
ο ο τε ε ε ε ρον


Ἀ πο φυ λα κης πρω ι ας με χρι
νυ κτος α πο φυ λα κης πρω ι ας ελ
πι σα τω Ισ ρα ηλ ε πι τον Κυ υ υ ρι ι
ι ι ον
Κυ ρι ι ε τη ση η Α α α να λη
η η ψει ε ξε πλα α γη σα αν τα
Χε ε ρου βι ιμ Θε ω ρη η σα αν τα
σε ε τον Θε ον ε πι νε φε λω ω ω ων
α νερ χο ο με ε ε ε νον τον επ αυ τω
ων κα α α θε ζο ο ο με ε ε ε νον
και δο ξα α α α ζο με ε εν σε ο τι


χρη στον το ε λε ο ος σου δο ο ο ξα α α
α σοι
Ο τι πα ρα τω Κυ ρι ω το ε
λε ος και πολ λη παρ αυ τω λυ τρω σις
και αυ τος λυ τρω σε ται τον Ισ ρα ηλ
εκ πα σων των α νο μι ω ω ων α α α
αυ του
Εν τοις ο ο ρε ε σι τοι οι οι οις α
γι ι ι οις θε ω ρουν τες σου τας υ ψω
ω ω σει εις Χρι στε το α παυ γα σμα της
δο ο ξη ης του ου ου Πα τρος α νυ


μνου ου με ε εν σου την φω το ο ει δη
του προ σω ω ω που ου μο ορ φην προ
σκυ νου με εν σου τα πα θη η η μα α α α
α τα τι μω μεν τη η ην Α να α α
στα α α α σιν την εν δο ξον Α να α
λη ψι ιν δο ξα α α ζο ο ο ον τες
ε λε ε η σο ον η η μας
Αι νει τε τον Κυ ρι ον παν τα τα
ε θνη ε παι νε σα τε αυ τον πα αν
τες οι οι λα α οι
Κυ υ ρι ι ι ε οι Α πο στο λοι


ως ει ει δον σε εν νε φε λαι αι αι αις ε
παι ρο ο με ε ε ε νον ο δυρ μοις δα α
κρυ υ υ υ ων ζω ο δο τα Χρι στε κα τη
φει ει ας πλη ρου ου με νοι θρη νου ου ουν τες
ε ε ε ε ε ε ε ε ε λε γον Δε σπο ο
τα μη ε α α σης η μα α α ας ορ
φα α νους ους δι οι κτον η γα α πη
η η σας δου λους σου ου ου ως ε ε ευ
σπλα α α αγ χνος αλλ α πο στει λον ως
υ πε σχου η μιν το πα να α γι ο ο
ο ον σου Πνε ε ευ μα φω τα γω γου ουν


τα ας ψυ χα α ας η η η η μων
Ο τι ε κρα ται ω θη το ε λε
ος αυ του εφ η μας και η α λη θει
α του Κυ ρι ου με νει εις το ον αι
ω ω ω ω να
Κυ υ ρι ι ι ε της οι κο νο μι
ας πλη ρω σας το μυ στη η η ρι ι ο ον
πα ρα λα βων τους σου ους Μα θη τας εις
το ο ρος των Ε λαι ω ω ω ων α νε λα
αμ βα α α α νες και ι δου το στε
ρε ε ω ω μα του ου ρα νου ου ου ου πα


ρη η ηλ ϑες ο δι ε με πτω χε ευ σας κα
ατ ε ε με και αι αι αι α να βας ο ο
ϑε εν ουκ ε ε ε ε χω ρι ι ι σϑης το
πα να γι ον σου Πνευ μα ε ξα πο ο ο
στει ει ει ει λον φω τι ζον τα ας ψυ χα α
ας η η η η μων


Ἦχος Πα
Κε ε Δο ο ο ξα Πα α τρι ι ι
ι και αι αι Υι ω και α γι ι ω
Πνευ μα α α τι
Και νυ υ υ υν και αι αι α ει και
εις τους αι ω ω ω νας των αι ω ω ω
νων α α α μην
Τω ων κο ο ολ πων τω ων πα τρι
κων μη χω ω ρι ισθεις γλυ κυ υ τα α α
τε Ι ι η η η η σου και τοι οις ε πι ι
γης ως αν θρω ω πος συ υ υ να να α στρα
α α α φεις ση με ρον απ ο ο ρους


τω ω ω ων Ε ε λαι αι ων α νε λη η
φθης ε ε εν δο ο ο ξη η και την πε
σου ου σαν φυ υ υ υ σι ιν η η η
μων συμ πα θω ω ως α α α νυ υ ψω ω ω
σας τω Πα τρι ι συ υ υ νε κα α α θι
ι ι ι σας ο θεν αι αι αι ου ου ρα α νι ι
αι των Α α σω ω ω μα α α τω ων τα
α α ξεις το θαυ μα ε εκ πληττο ο ο
ο με ε ε ε ναι ε ξι στα α αν το θα α
α α αμ βει ει και αι τρο μω συ νε χο
ο με ε ναι την σην φι λαν θρω πι ι αν ε ε


ε με γα α α α α λυ υ υ υ νον με εθ
ων και η μεις οι οι ε ε ε πι ι γης την
προς η μας σου συγ κα τα α α βα α α α
σιν και την αφ η μων Α να α α λη
η η η ψιν δο ξο λο γου ουν τες ι κε τε
ευ ο ο ο μεν λε ε ε γο ο ο ον τες ο
τους μα θη η τας και την τε κου σα αν σε ε
ε Θε ε ε ο ο το ο ο κον χα ρας α
πει ει ρου ου πλη η σας εν τη η ση η η
Α α α να λη η η η ψει και η μα ας α
α ξι ω ω σον των εκ λε κτων σου ου τη η



ης χα α ρας ευ χαι αι αι αις α α α αυ των



δι α το με ε γα α σου ε ε ε λε



ε ε ε ο ο ο ος

# 25-05-2017 ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ ΑΝΑΛΗΨΕΩΣ

## Εἴσοδος, Φῶς ἱλαρόν

### Ἦχος Δι




Β
ε ε Θε ε ε ου ου ζω η η η η η η ην
Δ
ο ο δι ι δου ους δι ο ο ο ο ο κο
Β Γ Μ
ο σμος σε ε ε δο ο ξα α α ζει ει

## Τῇ Τετάρτῃ ἑσπέρας.

## Προκείμενον.

### Ἦχος λ̈ πα Κε

Ο Θε ος εν τω ο νο μα τι σου σω σον

με και εν τη δυ να μει σου κρι νει ει ει εις

με (Δίς)

**Στίχ.** **Ὁ** Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τά ρήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα

τι σου σω σον με και εν τη δυ να μει σου

κρι νει ει εις με ε ε

## Εἶτα τὰ Ἀναγνώσματα.

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

### (Κεφ. Β΄, 2)

Τάδε λέγει Κύριος· Ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐμφανὲς τὸ ὄρος τοῦ Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ΄ αὐτῷ πάντα τὰ ἔθνη, καὶ πορεύσονται λαοὶ πολλοί, καὶ ἐροῦσι· Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ.

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

### (Κεφ. ΞΒ΄, 10 ΞΓ΄, 1)

Τάδε λέγει Κύριος· Πορεύεσθε, περιέλθετε διὰ τῶν πυλῶν μου, σκευάσατε τὴν ὁδόν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε, ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη· ἰδοὺ γὰρ ὁ Κύριος ἐποίησεν ἀκουστὸν ἕως ἐσχάτου τῆς γῆς. Εἴπατε τῇ θυγατρὶ Σιών· ἰδοὺ ὁ Σωτήρ σου παραγέγονεν, ἔχων τὸν ἑαυτοῦ μισθὸν μεθ᾽ αὐτοῦ, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. Καὶ καλέσει αὐτὸν λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ Κυρίου, σὺ δὲ

κληθήσῃ, Ἐπιζητουμένη πόλις, καὶ οὐκ ἐγκαταλελειμμένη. Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ, οὕτως ὡραῖος ἐν στολῇ αὐτοῦ; βοᾷ μετὰ ἰσχύος πολλῆς, Ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου. Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; Πλήρης καταπεπατημένης, ληνὸν ἐπάτησα μονώτατος, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ᾽ ἐμοῦ. Τὸν ἔλεον Κυρίου ἐμνήσθην, τὰς ἀρετὰς Κυρίου ἀναμνήσω, τὴν αἴνεσιν Κυρίου ἐπὶ πᾶσιν, οἷς ἡμῖν ἀνταποδίδωσι, Κύριος, κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραήλ, ἐπάγει ἡμῖν κατὰ ἔλεον αὐτοῦ, καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. Καὶ εἶπεν· οὐχὶ λαός μου ἐστὲ; τέκνα, καὶ οὐ μὴ ἀθετήσωσι· καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν ἐκ πάσης θλίψεως αὐτῶν, οὐ πρέσβυς, οὐδὲ Ἄγγελος, ἀλλ᾽ αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτοὺς διὰ τὸ ἀγαπᾶν αὐτούς, καὶ φείδεσθαι αὐτῶν. Αὐτὸς ἐλυτρώσατο αὐτούς, καὶ ἀνέλαβεν αὐτούς, καὶ ὑπερύψωσεν αὐτούς, πάσας τὰς ἡμέρας τοῦ αἰῶνος.

## Προφητείας Ζαχαρίου τὸ Ἀνάγνωσμα.

(Κεφ. ΙΔ΄, 4)

Τάδε λέγει Κύριος· Ἰδοὺ ἡμέρα ἔρχεται Κυρίου καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν Ἐλαιῶν, τὸ κατέναντι Ἱερουσαλήμ, ἐξ ἀνατολῶν ἡλίου. Καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, ἐν θέρει, καὶ ἐν ἔαρι ἔσται οὕτω. Καὶ ἔσται Κύριος εἰς Βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλῶν πᾶσαν τὴν γῆν, καὶ τὴν ἔρημον ἀπὸ Γαβαᾶ ἕως Ῥεμμών, κατὰ νότον Ἱερουσαλήμ, καὶ ὑψωθήσεται, καὶ ἐπὶ τοῦ τόπου μενεῖ, ἀπὸ τῆς πύλης Βενιαμίν, ἕως του τόπου τῆς πύλης τῆς πρώτης, ἕως τῆς πύλης τοῦ Γομόρ, καὶ ἕως, τοῦ πύργου Ἀναμεήλ, καὶ ἕως τοῦ πύργου τῶν γωνιῶν, καὶ ἕως τῶν ὑποληνίων τοῦ Βασιλέως. Κατοικήσουσιν ἐν αὐτῇ, καὶ ἀνάθεμα οὐκέτι ἔσται, καὶ κατοικήσει Ἱερουσαλὴμ πεποιθότως.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ

ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε ἐλέησον (ἅπαξ).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν

καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ’ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα

των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ

πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς,

καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

## Ἰδιόμελα τῶν Ἀποστίχων.

Ἦχος Δι




Παν τα τα ε θνη κρο τη σα τε χει
ρας α λα λα ξα τε τω Θε ω εν φω
νη α γαλ λι α α α σε ως
Α να λαμ βα νο με νου σου Χρι στε
εκ του ο ο ρους τω ων Ε λαι ων αι δυ
να μεις ο ο ρω ω ω σαι ε τε ρα τη ε τε
ε ε ρα α ε βο ο ο ο ων τις εστιν
ου τος και φη σι ι προς αυ τας ου τος ε
στιν ο κρα ται ο ος και αι αι δυ να α στης
ου τος ε στιν ο δυ να το ος ε ε εν
πο λε ε μω ου τος ε στιν α λη θως ο


Βα σι λευς της δο ο ο ξη ης και ι να
τι αυ του ε ρυ θρα α τα ι μα α α τι
α εκ Βο σορ η κει ο περ ε στι ι ι
τη ης σα αρ κος αυ τος δε ως Θε ος εν δε
ξι α κα θι σας της με γα λω συ υ υ υ νης
α πε στει λας η μιν το Πνε ε ε ευ μα το
α α α γι ι ι ι ον ι να ο δη γη
ση και σω ω ση τας ψυ υ χα α ας η η η
η μων
Α νε βη ο Θε ος εν α λα λαγ
μω Κυ ρι ος εν φω νη σα α αλ πιγ γος

Δ

Α νε ληφθης εν δο ξη εκ του ο ρους

των Ε λαι ων Χρι στε ε ο Θε ος ε

νω πι ον των σω ω ων μα α θη η των και

ε κα θι σας εν δε ξι α α του Πα τρος

ο τα συμ παν τα πλη ρω ω ω ων τη Θε

ο ο ο τη η η η τι και α πε στει

λας αυ τοις Πνε ευ μα το α α α γι ον

το φω τι ζον και στη η ρι ι ι ζον και α γι

α α ζον τας ψυ υ χα α ας η η η η

μων

## Δόξα ἀποστίχων·
### Ἦχος πλ. α' Πα.




ου ου σαν ει κο ο ο να του ου ου
Α α α δαμ και α πο στει ει ει ει
ει λαι Πνε ε ευ μα Πα ρα α α κλη η η η
τον του α γι α α α α α α σαι τα α ας
ψυ χα α ας η η η μω ω ων

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΧΟΡΟΣ:** Ἀμήν.

## Ἀπολυτίκιον τῆς Ἀναλήψεως.

Ἦχος δ' Δι




Ἀπόλυσις.

ΙΕΡΕΥΣ: Σοφία!

Ὁ Ἀναγνώστης: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν.

Ὁ Ἀναγνώστης: Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ´), Δέσποτα ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ἐν δόξῃ ἀναληφθείς ἀφ᾽ ἡμῶν εἰς τούς οὐρανούς καί ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καί Πατρός, Χριστός ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων,

ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (τοῦ ἁγίου τοῦ Ναοῦ) τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ Ἁγίου τῆς ἡμέρας,) καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Τόν Εὐλογοῦντα...




Τὸν Δεσπότην καί Ἀρχιερέα






Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.